# AESOPI FABVLAE (VI)

## 62-ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΦΙΣ

γεωργὸς χειμῶνος ὥραν[1] ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔπληξε τὸν εὐεργέτην καὶ ἀνεῖλε. ὁ δὲ θνῄσκων ἔλεγε «δίκαια πάσχω τὸν πονηρὸν οἰκτείρας».

ὁ λόγος δηλοῖ, ὅτι ἀμετάθετοί εἰσιν αἱ πονηρίαι, κἂν[2] τὰ μέγιστα[3] φιλανθρωπεύωνται.

---

[1] **χειμῶνος ὥραν.** *En invierno*
[2] **κἂν.** *Subordinador concesivo*
[3] **τὰ μέγιστα.** Neutro plural con valor adverbial que intensifica el verbo siguiente